Τούτων δὲ πάντων ὑπόθεσις, ὁ θαυμασιώτατος καὶ μυροβλύτης, ὁ βασιλεὺς τῆς Βουλγαρίας καὶ τοῦ Ἰλλυρικοῦ χρηματίσας, τοῦ προαιωνίου Λόγου Μάρτυς ὁ ἀξιόπιστος, Ἰωάννης ὁ χαριτεπώνυμος, ὃν ἡμεῖς σήμερον ὑμνεῖν βουλόμεθα μὲν, οὐ δυνάμεθα δὲ, ἀλλ' ὅσον ἐπιχειρίσομεν, τοσοῦτον τῆς ἀξίας ἐλλείπομεν. Τοὺς γὰρ ὑπὲρ ἄνθρωπον ζήσαντας, πῶς ἄνθρωποι ἐπαξίως τιμήσωμεν; καὶ μάλιςα Μάρτυρας, μᾶλλον δὲ τὸν ἐκ Βλαδιμήρου ἀειλαμπέστατον ἐκλάμψαντα μέγιστον φωστῆρα, τῆς οἰκουμένης τὸ καύχημα, τὸ τῆς Ἐκκλησίας ἀγλάϊσμα, τοῦ Σταυροῦ τὸν πρόμαχον, τὸν τῆς ἀληθείας ὑπέρμαχον, Ἰωάννην τῶν τοῦ Χριςοῦ Βασιλέων, καὶ ςρατιωτῶν ὅπλον ἀήττητον. Ἰωάννης τὸ τῆς εὐσεβοῦς βασιλείας διάδημα. Ἰωάννης ὁ τῶν ἀσθενούντων καὶ θλιβομένων ἑτοιμότατος ἰατὴρ καὶ παρακλήτωρ. Ἰωάννης καταπονουμένων ὁ ἔκδικος, καὶ ψευδομένων ὁ ἔλεγχος. Ἰωάννης ἡ ἡμετέρα παραμυθία, ἡ εὐπορία τῶν στερουμένων, τῶν ὀρφανῶν ὁ προστάτης, χηρῶν ὁ τροφεὺς, φύλαξ τοῦ ποιμνίου, ἅλωνος ἡ εὐλογία, τῶν ἀμπέλων ἡ εὐφορία, τῶν αἰχμαλώτων ἡ προστασία, τῶν πολεμουμένων τὸ τεῖχος, τῶν πεινώντων ὁ χορτασμὸς, τῶν Βογομίλων, τῶν Αἱρετικῶν, Μασσαλιανῶν ἡ κατάλυσις, ἡ τῆς πλάνης καθαίρεσις, καὶ τῆς πίστεως ἀνόρθωσις. Οὗτος παρὰ τῶν ἀθέων Αἱρετικῶν, ἢ καὶ συγγενῶν, πολεμηθεὶς, καὶ ἀποκεφαλισθεὶ, τοὺς τυραννοῦντας ἐνίκησε, καὶ θανὼν ὄντως ἔζησε, καὶ ταῖς ἰδίαις χερσὶ τὴν σεβασμίαν του κάραν ἀποτμηθεῖσαν βαστάσας, εδῶ μέσα ἔτρεξε, καὶ τοὺς φονεῖς ἐξέπληξε, τοὺς φθονήσαντας ὤλεσε, καὶ ἀπὸ τὴν προσκαιρινὴν αὐτὴν βασιλείαν μετέστη εἰς τὴν αἰώνιον ἀκήρατον, καὶ ἀθάνατον. Μετὰ τῶν Ἀγγέλων κύκλῳ τοῦ θρόνου τῆς μεγαλωσύνης εὑρίσκεται, ἀφ' ἡμῶν οὐδ' ὅλως ἀφιστάμενος, ἀλλ' ἀοράτως ἐν μέσῳ ἡμῶν εὑρισκόμενος, δαψιλῶς τοῖς προσερχομένοις τὰς δωρεὰς παρέχει· βαβαὶ τῶν παραδόξων θαυμάτων! Ποίοις λόγοις εὐφημήσω τὸν Βασιλέα καὶ Μάρτυρα; τὸν μυροβλύτην ὡς ἀληθῶς καὶ πολυθαύμαστον; ποίοις κρότοις ἐπαινέσω τούτου τὰ ἔπαθλα; ποίοις τρόποις ἀνυμνήσω τὰ θαύματα; Μεμέλισται τοῦ μεγαλομάρτυρος ὁ πηλὸς, ἀλλ' οὐ μεμέρισται τούτου ὁ Χριςός· διεῤῥάγη ἡ φύσις, ἀλλ' οὐκ ἐλύθη ἡ πίστις· ἐν ἑνὶ τόπῳ ὑπάρχει, καὶ ἐν ὅλω τῷ κόσμω ἐπικαλούμενος διάγει· ἐκεῖ ἐν τοῖς Οὐρανοῖς Χριστῷ τῷ Θεῷ παρίσταται, καὶ τῶν ἐνταῦθα οὐδ' ὅλως ἀφίσταται· ἐκεῖ πρεσβεύει, καὶ ὧδε ἡμῖν θριαμβεύει· ἐκεῖ λειτουργεῖ, καὶ ὧδε